**ἀντισπαστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν**

**1.** Schol. in Aesch. *Eum.* 244 (I, p. 91. 1 sqq. Smith) + τὰ δὲ κῶλα ἀντισπαστικὰ ιδʹ ἡμιόλια καὶ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά.

Schol. in Aesch. *Eum.* 808 (I, p. 92. 11 sqq. Smith) + ᾠδὴ χοροῦ ἐπωιδικὴ διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι. ἔχει δὲ τοὺς πρώτους μὲν γʹ στίχους ἰαμβικοὺς τριμέτρους ἀκαταλήκτους, τὰ δὲ ἑξῆς κῶλά εἰσιν ἀντισπαστικὰ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα καὶ τρίμετρα ιγʹ.

Schol. in Aesch. *Eum.* 837 (I, p. 92. 21 sqq. Smith) + ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ἀντισπαστικῶν διμέτρων βραχυκαταλήκτων καὶ καταληκτικῶν καὶ πενθημιμερῶν καὶ μονομέτρων καὶ τριμέτρων ιαʹ.

Schol. in Aesch. *sept.* 720-791 (II 2, p. 313. 17 sqq. Smith) οὗτος ὁ χορὸς συνέστηκεν ἐκ κώλων οβʹ ὧν τὰ πρῶτα ιδʹ ἀναπαιστικά ... τὰ δὲ ἑξῆς πάντα χοριαμβικὰ καὶ ἀντισπαστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ καὶ ἡμιόλια καὶ τρίμετρα βραχυκατάληκτα.

Schol. in Aristoph. *av.* 1565a. 4 sqq. (p. 224 Holwerda) Tr μετὰ δὲ τὸν πδʹ στίχον κῶλα ἀντισπαστικὰ ϛʹ ἐπιμεμιγμένα διιάμβοις, δισπονδείοις καὶ ἐπιτρίτοις· ὧν τὸ μὲν αʹ δίμετρον ἀκατάληκτον, τὰ δὲ εʹ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ.

× ×̆̆ ⏕ ⏑ × – ⏓

**2.** Hephaest. 55. 7 sqq. καὶ τὸ ἐκ τῶν ἀντισπαστικῶν δὲ καταληκτικῶν διμέτρων δικατάληκτον (*scil.* ἀσυνάρτητον), ὃ Φερεκράτης ἑνώσας σύμπτυκτον ἀνάπαιστον καλεῖ ἐν τῇ Κοριαννοῖ· (fr. 84 [PCG VII, p. 142] Kassel-Austin)

ἄνδρες πρόσχετε τὸν νοῦν ἐξευρήματι καινῷ
συμπτύκτοις ἀναπαίστοις.

Tzetz. *de metr. Pind.* 108. 6 sqq.

δεύτερον φερεκράτειον ἀπὸ τοῦ Φερεκράτους·
ὑπάρχει δ᾽ ἀντισπαστικόν, ἢ ἑφθημιμερές γε,
ἢ καταλήξει δίμετρον ἐν ἑπρασυλλαβίᾳ.

Trich. 389. 10 sqq. δίμετρον δέ (*scil.* ἀντισπαστικόν) ἐστι καταληκτικὸν μὲν τό·

πολεῦντος πότνιά μευ.

τοῦτο δὲ ἑφθημιμερὲς καλεῖται, τρεῖς ἥμισυ ἔχον δισυλλαβίας, αἵ εἰσιν ἥμισυ τοῦ ἑπτά. ταὐτὸ τοῦτο καὶ Φερεκράτειον λέγεται, ὡς κατακόρως τούτῳ χρησαμένου τοῦ Φερεκράτους. πολλῷ δὲ αὐτῷ κέχρηται καὶ ἡ ποιήτρια Κορίννη.

Plan. in Boethii *de cons.* 91 (p. 107 Papathomopoulos) τούτῳ δὲ (*scil.* τῷ εἴδει) ὑπέταξεν ἕτερον ἀντισπαστικὸν ἑφθημιμερές, ὅ ἐστι δίμετρον καταληκτικόν, τὸ καλούμενον φερεκράτειον, ἐκ σπονδείου καὶ τροχαίου καὶ ἔτι ἰάμβου καὶ μιᾶς συλλαβῆς· ἐχρήσατο δὲ τούτῳ ἅπαξ ἐνταῦθα.

Anon. Vat. 22 (Pind. *Ol.* 5. 4)

– – – ⏑ . ⏑ – – .
ὃς τὰν σὰν πόλιν αὔξων

ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἑφθημιμερές). (Pind. *Ol.* 13. 2)

⏑ – – ⏑ . ⏑ – – .
οἶκον ἅμερον ἀστοῖς

ὅμοιον.

Schol. rec. in Pind. *Ol.* 1 (p. 45. 14 sqq. Abel) τὸ β′ τροχαικὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλλικὸν ἀπὸ Ἰθυφάλλου τοῦ Διονύσου, ἔχον τὸν δεύτερον πόδα δάκτυλον. ἐμοὶ δὲ καὶ ἀντισπαστικὸν δοκεῖ δίμετρον καταληκτικόν, ὃ καλεῖται φερεκράτειον ἀπὸ τοῦ εὑρόντος Φερεκράτους, ἐκ τροχαικῆς συζυγίας καὶ βακχείου. οἰκεῖα γὰρ τῷ μέτρῳ.

Schol. rec. in Pind. *Ol.* 13 (p. 383. 10 sqq. Abel) τὸ β′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον ἐκ διτροχαίου.

Schol. rec. in Pind. *Pyth.* 10 (p. 175. 18 sqq. Irigoin) τὸ ε΄ ἀντιπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐξ αντισπάστου καὶ ἀμφιβράχεος ἢ βακχείου.

Schol. in Aesch. *Pers.* 548 (p. 50. 27 sqq. Massa Positano) + τὸ θ′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἐξ ἐπιτρίτου δ′ καὶ βακχείου.

Schol. in Aesch. *Pers.* 584 (p. 53. 22 sqq. Massa Positano) + τὸ ε′ καὶ τὸ ς′ ἀντισπαστικὰ δίμετρα καταληκτικὰ ἃ καλεῖται φερεκράτεια, ἐξ ἐπιτρίτου δ′ καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον, εἰ δὲ βούλει δακτυλικὰ τρίμετρα καταληκτικὰ εἰς δισύλλαβον.

Schol. in Aesch. *Pers.* 657 (p. 56. 24 sqq. Massa Positano) + τὸ δ′ ὅμοιον τῷ πρώτῳ (*scil.* τῷ ἀντισπαστικῷ διμέτρῳ καταληκτικῷ), ἐξ ἀντισπάστου καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 287-303b (II 2, p. 140. 9 sqq. Smith) + τὸ θ′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς διτρόχαιον ἔχει τὸν πρῶτον πόδα. τὸ ι′ ὅμοιον κατὰ πάντα· τὸ δὲ τῆς ἀντιστροφῆς κῶλον ἀντίσπαστον ἔχει καθαρόν. τὸ ια′ ὅμοιον ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου. τὸ ιβ′ ὅμοιον ἐκ διτροχαίου καὶ βακχείου ἢ ἀμφιβράχεος διὰ τὴν ἀδιάφορον. τὸ ιγ′ ὅμοιον ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου ἢ ἀμφιβράχεος. τὸ ιδ′ ὅμοιον ἐκ διτροχαίου καὶ ἀμφιβράχεος· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον ἐπίτριτον ἔχει καὶ βακχεῖον.

Schol. in Aesch. *sept.* 345-356b (II 2, p. 163. 32 sqq. Smith) + τὸ ε′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου, τὸ δὲ τῆς ἀντιστροφῆς κῶλον διτρόχαιον ἔχει καὶ ἀμφίβραχυν διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 750-757b (II 2, p. 324. 13 sqq. Smith) + τὸ ς′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς φερεκράτειον, ἐκ διτροχαίου καὶ βακχείου· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον τέταρτον ἔχει τὸν πρῶτον πόδα.

Schol. Byz. in Soph. *Oed. tyr.* 1190 (p. 279. 24 sqq. Longo) τὸ ς′ τροχαικὸν δίμετρον καταληκτικὸν ἑφθημιμερὲς εὐριπίδεον. εἴη δ᾽ ἂν καὶ ἀντισπαστικὸν (*scil.* δίμετρον καταληκτικόν) φερεκράτειον ἐξ ἐπιτρίτου δ΄ ἀντὶ ἀντισπάστου, καὶ βακχείου.

Schol. Byz. in Soph. *Oed. tyr.* 1313 (p. 281. 25 sqq. Longo) τὸ α΄ ἀντισπα-

στικὸν δίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας, ἔχον τὸν α´ πόδα συγκείμενον, τὸν δὲ β´ τετράβραχυν, ὅς κατὰ συνίζησιν γίνεται τρισύλλαβος, δάκτυλος ἢ ἀνάπαιστος. τὸ β´ ὅμοιον, τοῦ α´ ποδὸς ἑξασυλλάβου. τὸ γ´ ὅμοιον, τοῦ α´ ποδὸς πεντασυλλάβου.

Schol. Tricl. in Eur. *Hec.* 444-454a (p. 25 de Faveri) τὸ α´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς φερεκράτειον ἐξ ἐπίτριτου δ´ καὶ βακχείου.

Schol. Tricl. in Eur. *Hec.* 466-474a (p. 26 de Faveri) τὸ η´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐξ ἐπιτρίτου δ´ καὶ βακχείου διὰ τὴν ἀδιάφορον ἢ ἀμφιβράχεος.

Schol. Tricl. in Eur. *Phoen.* 202-238a (p. 95 de Faveri) τὸ γ´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐξ ἐπιτρίτου δ´ καὶ βακχείου ... τὸ ιδ´ ὅμοιον τῷ γ´ ... τὸ ιζ´ ὅμοιον τῷ γ´ ... τὸ κγ´ ὅμοιον τῷ γ´ ... τὸ κς´ ὅμοιον τῷ γ´.

Schol. Tricl. in Eur. *Phoen.* 1508-1538a (p. 120 de Faveri) τὸ η´ ἀντιπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐξ ἀντισπάστου καὶ βακχείου … τὸ κβ´ ἀντισπαστικὸν ὅμοιον τῷ η´.

Schol. in Aristoph. *av.* 676b. 5 sqq. (p. 107 Holwerda) Tr τὸ δʹ ὅμοιον δίμετρον καταληκτικόν, ὃ καλεῖται φερεκράτειον, ὡς εἴρηται ἐκεῖ … τὸ δὲ θʹ, τό· (v. 684)

ἄρχου τῶν ἀναπαίστων,

ὅμοιον τῷ δʹ.

Schol. in Aristoph. *eq.* 551b (p. 139. 9 sq. Jones-Wilson) vet τὰ δὲ λοιπὰ τέτταρα ἀντισπαστικὰ δίμετρα, τρία μὲν γλυκωνεῖα, τὸ τελευταῖον δὲ φερεκράτειον.

Schol. in Aristoph. *eq.* 973b (p. 223. 4 sqq. Jones-Wilson) Tr τὸ δὲ τέταρτον κῶλον δίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικὸν ἤτοι ἑφθημιμερές (*scil.* ἀντισπαστικόν) καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον διὰ τὸ ἀντὶ τοῦ ἀντισπάστου ἔχειν ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῇ πρώτῃ χώρᾳ ἐπίτριτον καὶ αὐτὸ τέταρτον ἢ διτρόχαιον, ἐν δὲ τῇ δευτέρᾳ βακχεῖον.

Schol. rec. in Aristoph. *nub.* 563c. 19 sqq. (p. 89 Koster) Tr[1] τὸ ιγʹ· (v. 574)

ἐν θνητοῖσί τε δαίμων

ὅμοιον ἀντισπαστικόν, καλούμενον φερεκράτειον, ἤτοι δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δʹ καὶ βακχείου· καλεῖται δὲ οὕτως [διὰ τὸ μὴ] ἔχειν τὸν ἀντίσπαστον καθαρόν, ἀλλ᾽ ἐπίτριτον δʹ, τὰς δὲ ἑξῆς χώρας ἰαμβικὰς ἤτοι διίαμβον

Schol. rec. anon. in Aristoph. *nub.* 563a. 10 sq. (p. 315 Koster) τὸ ιγʹ ἀντισπαστικὸν δίμετρον (*scil.* καταληκτικόν) καλούμενον φερεκράτειον, ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου.

Schol. Ald. in Aristoph. *nub.* 563a (p. 271. 23 sqq. Koster) τὸ δυοκαιδέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικόν, τὸ καλούμενον φερεκράτειον, ἑφθημιμερὲς ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου.

Schol. rec. in Aristoph. *nub.* 804a. 1 sqq. (p. 117 Koster) Tr[1] ἆρά γ᾽ αἰσθάνει] κομμάτιον καὶ εἴσθεσις [δι]πλ[ῆς] κώλων θʹ, ὧν πρῶτον· (v. 804)

[ἆρά γ᾽ αἰ]σθάνει πλεῖστα

ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐκ διτροχαίου καὶ παλιμβακχείου, καὶ ἔστιν [ἑφ]θημιμερὲς φερεκράτειον.

SCHOL. REC. in Aristoph. *nub*. 804b. 3 sqq. (p. 118 Koster) Tr[2] τὸ α′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ὃ καλεῖται φερεκράτειον· τὸ β′ ὅμοιον … τὸ δ′ ὅμοιον τῷ α′.

SCHOL. ALD. in Aristoph. *nub*. 804a. (p. 274. 6 sqq. Koster) τὸ μὲν πρῶτον δίμετρον ἀντισπαστικὸν ἐκ διτροχαίου καὶ παλιμβακχείου· τὸ δεύτερον ἐξ ἀντισπάστου καὶ ἀμφιβράχεος … τὸ τέταρτον δίμετρον (*scil.* καταληκτικόν) ἐκ διτροχαίου καὶ ἀμφιβράχεος.

SCHOL. REC. in Aristoph. *ran*. 323-339. 4 sq. (p. 61 Chantry) τὸ β′ (v. 324) ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ὃ καλεῖται φερεκράτειον.

SCHOL. REC. in Aristoph. *ran*. 323-339. 11 (p. 61 Chantry) τὸ θ′ (v. 331) ἀντισπαστικὸν ὅμοιον τῷ β′ (*scil.* τῷ διμέτρῳ καταληκτικῷ), ὃ καλεῖται φερεκράτειον.

SCHOL. REC. in Aristoph. *ran*. 323-353. 2 sq. (p. 61 Chantry) τὸ δεύτερον (v. 324) δίμετρον καταληκτικόν, ἢ ἐξ ἀντισπάστου καὶ βακχείου.

SCHOL. REC. in Aristoph. *ran*. 323-353. 8 sq. (p. 62 Chantry) τὸ ἔνατον (v. 331) ἐξ ἀντισπάστου καὶ βακχείου δίμετρον (*scil.* καταληκτικόν), ἢ ἑφθημιμερές.

SCHOL. REC. in Aristoph. *ran*. 340-353b. 3 sqq. (p. 66 Chantry) τὸ β′ (v. 341) δίμετρον (*scil.* ἀνασπαστικόν) καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον. περὶ τούτων δὲ εἴρηται ἐν τῇ παραβάσει τοῦ τῶν Νεφελῶν δράματος.

SCHOL. REC. in Aristoph. *ran*. 1251-1260c. 6 sqq. (p. 207 Chantry) τὸ δὲ η΄ (v. 1258), τὸ θ΄ (v. 1259) καὶ τὸ ι΄, τὸ (v. 1260) ‘καὶ δέδοιχ᾽ ὑπὲρ αὐτοῦ᾽ δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον.

SCHOL. REC. in Aristoph. *ran*. 1251-1260c. 9 sq. (p. 208 Chantry) τὸ γ΄ (v. 1253) τοῦ πρώτου ποδὸς πεντασυλλάβου (*scil.* ἀντισπαστικὸν δίμετρον) καταληκτικόν.

SCHOL. REC. in Aristoph. *ran*. 1251-1260c. 11 sq. (p. 208 Chantry) τὸ ς′ (*scil.* ἀντισπαστικὸν δίμετρον καταληκτικόν) (v. 1256) ἐκ διτροχαίου καὶ βακχείου ἢ ἀμφιβράχεος … τὸ η′ (v. 1258) καταληκτικόν, ἐκ διτροχαίου καὶ βακχείου ἢ ἀμφιβράχεος … τὸ ι′ (v. 1260) ὅμοιον τῷ η′.

SCHOL. REC. in Aristoph. *ran*. 1309-1324a. 23 sqq. (p. 219 Chantry) τὸ ιε′ (v. 1323) ‘ὁρᾷς τὸν πόδα τοῦτον᾽ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἐξ ἀντισπάστου καὶ βακχείου, ἑφθημιμερὲς φερεκράτειον.

SCHOL. REC. in Aristoph. *ran*. 1325-1330a. 7 sq. (p. 222 Chantry) τὸ δ′ (v. 1328) ‘Κυρήνης μελοποιῶν᾽ δίμετρον καταληκτικὸν ἀντισπαστικόν, ἐξ ἀντισπάστου καὶ βακχείου.

SCHOL. REC. in Aristoph. *ran*. 1325-1330b. 4 sq. (p. 222 Chantry) τὸ δὲ τέταρτον (v. 1328) (*scil.* ἀντισπαστικὸν δίμετρον) καταληκτικὸν ἤτοι ἑφθημιμερές.

SCHOL. REC. in Aristoph. *ran*. 1338-1345a. 12 sqq. (p. 225 Chantry) τὸ κα′ (v. 1342) ‘τάδε τέρατα θεάσασθε᾽ δίμετρον (ἀντισπαστικὸν ?) καταληκτικόν, ἤτοι ἑφθημιμερές ***, ἐξ (ἀντισπάστου) διαλελυμένων τῶν δύο μακρῶν (καὶ) ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον.

SCHOL. REC. in Aristoph. *ran.* 1341-1355. 2 sq. (p. 226 Chantry) τὸ α′ (v. 1341) ‘ἰὼ πόντιε δαῖμον’ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον.

SCHOL. REC. in Aristoph. *ran.* 1341-1355. 11 (p. 227 Chantry) τὸ ι′ (v. 1347 λίνου μεστὸν ἄτρακτον) ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικόν.

SCHOL. A in Hephaest. 161. 4 sqq. τρία (*scil.* ἀντισπαστικὰ δίμετρα) τοίνυν τέθεικεν (*scil.* ὁ Φερεκράτης) ἐκ δύο ἀντισπάστων παρὰ τὴν τελευταίαν συλλαβήν. καταληκτικὰ γὰρ εἶπεν (*scil.* ὁ Ἡφαιστίων. p. 55. 7 sqq.) εἶναι αὐτά.

SCHOL. A in Hephaest. 161. 7 sq. δικατάληκτον ὃ Φερεκράτης] ἐπεὶ τὸ (*scil.* ἀσυνάρτητον) ἐκ δύο ἀντισπαστικῶν (*scil.* διμέτρων) καταληκτικῶν δικατάληκτον εἶπεν (*scil.* ὁ Ἡφαιστίων [p. 55. 7 sqq.])

APTHON. GL VI 87. 2 sqq. dimetrum (*scil.* choriambicum catalecticum) quoque: (cf. Hor. *carm.* I 8. 1 sqq.)

Lydia dic canoro.

huic si < … > primam longam mutaveris, id est si trochaeo retracto iambum posueris, metrum (an dimetrum?) antispasticum, quod est huic contrarium, figurabis, ut:

libens Lydia dic cur.

× ×̆̆ ⏗ ⏑ ⏗ ⏑ ⏓

**3.** TZETZ. *de metr. Pind.* 34. 20 sqq.

τὸ δέκατον ἐπιωνικὸν ἀντισπαστικόν τε
δίμετρον καταληκτικὸν τροχαίου ἀρχομένου
ἐν ἰωνικῷ· περὶ αὐτοῦ μνησθῶμεν τῶν καιρίων ...

36. 15 sqq.

ὅθεν τὸ κῶλον γίνωσκε οὕτω σοι γεγραμμένον.
ἀντίσπαστος ἰωνικὸν ἀπὸ μείζονος
⏑ – – ⏑ – ⏑ ⏑
τὸ πρῶτόν σοι ἀντίσπαστος, ἰωνικὸν τὸ ἄλλο.
εἰ δέ γε καὶ τροχαικὴ ὑπάρχει ἡ κατάκλεις,
πρὸς τοὺς τροχαίους εἴπομεν ἔχειν καιρίαν μῖξιν
τἀμφότερα ἰωνικά. ἔχεις ἰδοὺ τὸ κῶλον.

TZETZ. *de metr. Pind.* 113. 12 sqq.

τὸ τρίτον φερεκράτειον, διπλοῦν ἀντὶ ἁπλοῦ δε.
τὸ πρῶτον μὲν ὁλόκληρον, δεύτερον ἀτελές δε.
μέτρον τε Φερεκράτους γὰρ ἀντίσπαστοι πληροῦσι.
δίμετρον ἔστι τοῦτο δέ, πλὴν ἀλλ᾽ ἐν καταλήξει·
εἰ βούλει ἑφθημιμερές, ἀλλ᾽ ἀντισπαστικόν γε,
ἀριθμουμένων τῶν ποδῶν κατὰ δισυλλαβίαν ...
ἀλλ᾽ ὅρα τὴν καταγραφὴν τοῦ νοῦ ἐξηγημένου.
φερεκράτειον πρῶτον φερεκράτειον δεύτερον, λειπούσης συλλαβῆς
– – – ⏑ – ⏑ – ⏑ – – ⏑ – –.

TZETZ. *de metr. Pind.* 115. 5 sqq.

δέκατον ἀντισπαστικὸν δίμετρον καταλήξει·

τὸ ὅλον γὰρ ἀντίσπαστος, τροχαικὴ κατακλείς.
◡ – – ◡ – ◡ –

118. 10 sqq.
ἕβδομον ἀντισπαστικὸν δίμετρον καταλήξει·
τροχαικὴ κατακλεὶς δὲ ὑπάρχει ἐν τῷ κώλῳ.
ἀντίσπαστος τροχαῖος συλλαβή
◡ – – ◡ – ◡ – .

Anon. Harl. 23. 24 sq. δίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικὸν εἰς συλλαβήν· (Pind. *Ol.* 1. 6)
ἐρήμας δι᾽ αἰθέρος.

Schol. rec. in Pind. *Ol.* 1 (p. 46. 13 sqq. Abel) τὸ ι′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται φερεκράτειον, ὡς εἴρηται, ἐξ ἀντισπάστου καὶ δακτύλου ἢ κρητικοῦ ἤτοι ἀμφιμάκρου.

Schol. rec. in Pind. *Ol.* 14 (p. 420. 3 sqq. Abel) τὸ γ′ ἀντισπαστικὸν διπλοῦν φερεκράτειον· σύγκειται γὰρ ἐκ β′ κώλων Φερεκρατείων, ὧν τὸ β′ ἀτελές. τὸ μὲν γάρ ἐστι δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, τὸ δὲ δίμετρον βραχυκατάληκτον ἀντὶ ἀντισπάστου παίωνα β′ ἔχον.

Schol. rec. in Pind. *Ol.* 14 (p. 422. 5 sq. Abel) τὸ ζ′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ τροχαικῆς κατακλεῖδος.

Schol. rec. in Pind. *Pyth.* 10 (p. 175. 21 Irigoin) τὸ ζ´ ὅμοιον τῷ ε´, ἀντισπαστικόν (*scil.* δίμετρον καταληκτικόν).

Schol. in Aesch. *Ag.* 1100 (I, p. 86. 21 sqq. Smith) + ἑτέρα στροφὴ ἔχουσα κῶλα ε′, ὧν τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τὸ β′ δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές.

Schol. in Aesch. *Pers.* 657 (p. 56. 20 sqq. Massa Positano) + τὸ α′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἐξ ἀντισπάστου καὶ κρητικοῦ, ὃ καλεῖται φερεκράτειον.

Schol. in Aesch. *sept.* 900-906c (II 2, p. 376. 18 sq. Smith) + τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ δακτύλου.

Schol. in Aesch. *sept.* 941-946d (II 2, p. 387. 25 sqq. Smith) + τὸ ε′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐξ ἀντισπάστου καὶ κρητικοῦ.

Schol. Byz. in Soph. *Oed. tyr.* 1190 (p. 280. 27 sqq. Longo) τὸ κε´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐξ ἀντισπάστου καὶ κρητικοῦ.

Schol. Byz. in Soph. *Oed. tyr.* 1313 (p. 281. 25 sqq. Longo) τὸ α´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας, ἔχον τὸν α´ πόδα συγκείμενον, τὸν δὲ β´ τετράβραχυν, ὃς κατὰ συνίζησιν γίνεται τρισύλλαβος, δάκτυλος ἢ ἀνάπαιστος. τὸ β´ ὅμοιον, τοῦ α´ ποδὸς ἑξασυλλάβου. τὸ γ´ ὅμοιον, τοῦ α´ ποδὸς πεντασυλλάβου.

Schol. Byz. in Soph. *Oed. tyr.* 1329 (p. 282. 17 sqq. Longo) τὸ δ᾽ α´ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, τοῦ α´ ποδὸς ἐπιτρίτου πεντασυλλάβου, τοῦ δὲ β´ κρητικοῦ. εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ καὶ διιάμβου.

Schol. Byz. in Soph. *Oed. tyr.* 1337 (p. 282. 27 sq. Longo) τὸ β´ ὅμοιον (*scil.*

ἀντισπαστικὸν δίμετρον καταληκτικόν) ἐκ τροχαικῆς συζυγίας καὶ δακτύλου· εἰ δὲ βούλει, τροχαικὸν ἑφθημιμερές.

SCHOL. TRICL. in Eur. *Hec.* 1056-1084a (p. 40 de Faveri) τὸ κβ´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐξ ἀντισπάστου καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου.

SCHOL. TRICL. in Eur. *Or.* 166-173a (p. 47 de Faveri) τὸ γ´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐξ ἀντισπάστου καὶ κρητικοῦ· ἐνταῦθα δὲ τὸν κρητικὸν ἔχει τετρασύλλαβον.

SCHOL. TRICL. in Eur. *Or.* 1369-1379a (p. 74 de Faveri) τὸ ια´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ δακτύλου.

SCHOL. TRICL. in Eur. *Or.* 1381-1392a (p. 75 de Faveri) τὸ ϛ´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ κρητικοῦ. εἰ δὲ βούλει τροχαικὸν (*scil.* ἑφθημιμερὲς εὐριπίδειον) ὅμοιον τῷ δ´.

SCHOL. TRICL. in Eur. *Or.* 1426-1451a (p. 77 de Faveri) τὸ κ´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ κρητικοῦ.

SCHOL. TRICL. in Eur. *Or.* 1454-1472a (p. 79 de Faveri) τὸ ιε´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ δακτύλου.

SCHOL. TRICL. in Eur. *Or.* 1541-1542a (p. 83 de Faveri) τὸ γ´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ δακτύλου, ὃ καλεῖται φερεκράτειον.

SCHOL. TRICL. in Eur. *Phoen.* 301-354a (p. 100 de Faveri) τὸ λα´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου ... τὸ λζ´ ὅμοιον τῷ λα´.

SCHOL. TRICL. in Eur. *Phoen.* 676-689a (p. 106 de Faveri) τὸ ϛ´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐξ ἀντισπάστου καῖ κρητικοῦ· εἰ δὲ βούλει τροχαικὸν ἑφθημιμερὲς ἰάμβου ἀρχομένου,

SCHOL. REC. in Aristoph. *nub.* 949a. 9 sq. (p. 133 Koster) Tr[1] τὸ ϛʹ· (v. 953 sq.)

ἀμείνων φανήσεται

ὅμοιον δίμετρον καταληκτικὸν ἀντισπαστικὸν ἐξ ἀντισπάστου καὶ κρητικοῦ.

SCHOL. REC. in Aristoph. *nub.* 949b. 7 sq. (p. 134 Koster) Tr[2] τὸ ϛʹ ἀντισπαστικὸν (*scil.* δίμετρον καταληκτικόν) ἐξ ἀντισπάστου καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου.

SCHOL. ALD. in Aristoph. *nub.* 949a. (p. 275. 10 sq. Koster) τὸ ἕκτον (*scil.* ἀντισπαστικὸν δίμετρον καταληκτικόν) ἐξ ἀντισπάστου καὶ κρητικοῦ, εἴτ᾽ οὖν ἀμφιμάκρου.

⏑ – – ⏑ ⏑ ⏑ –

**4.** TZETZ. *de metr. Pind.* 47. 7 sq.

δέκατον ἀντισπαστικὸν καὶ καταληκτικόν τε
καὶ δίμετρον· ἐλλείπει γὰρ ἥμισυ συζυγίας.

ANON. VAT. 22 (Pind. *Ol.* 2. 6)

⏑ – – ⏑ . ⏑ ⏑ – .
γεγωνητέον ὀπί

δίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικὸν φερεκράτειον ἑφθημιμερές.

Schol. rec. in Pind. *Ol.* 2 (p. 105. 13 sqq. Abel) τὸ ι′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν· τετρασύλλαβοι γὰρ οἱ πόδες. ἡ τελευταία ἀδιάφορος· ἔν τισι μὲν γάρ ἐστιν ὁ β′ ποὺς τρίβραχυς, ἔν τισι δὲ ἀνάπαιστος.

× – ⏑ – ⏑ – –

**5.** Schol. in Aesch. *Ag.* 1114 (I, p. 86. 29 sqq. Smith) + ἐντεῦθεν ἑτέρως ἐσχημάτισε τὸ μέτρον καὶ προέθηκε τῆς στροφῆς κῶλόν τι τὸ ἓ ἕ. τὰ δὲ ἑξῆς κῶλά εἰσι ε′, ὧν τὸ α′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τὸ β′ δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές.

Schol. in Aesch. *Pers.* 280 (p. 44. 12 sqq. Massa Positano) + τὸ δ′ ὅμοιον τῷ α′, ἐξ ἐπιτρίτου τρίτου καὶ ἀμφιβράχεος ἢ βακχείου, εἰ δὲ βούλει χοριαμβικόν· τοιοῦτον γὰρ δοκεῖ τὸ τῆς ἀντιστροφῆς.

Schol. rec. in Aristoph. *ran.* 416-430a. 8 sqq. (p. 82 Chantry) τὸ ε´ (v. 422) ‘τὸν Κλεισθένους δ᾽ ἀκούω᾽ δίμετρον ἀντισπαστικὸν καταληκτικόν, ἐξ ἐπιτρίτου τρίτου καὶ βακχείου, εἰ δὲ βούλει, ἰαμβικόν (*scil.* ἑφθημιμερές). τὸ ς´ (v. 423) ‘ἐν ταῖς ταφαῖσι πρωκτὸν᾽ (ὅμοιον, εἰ βούλει με***).

× ⏓⏓ ⏑ ⏓⏓ ⏓⏓ ⏑ ⏑̲

**6.** Schol. in Aesch. *Pers.* 280 (p. 44. 8 sq. Massa Positano) + τὸ α′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἐκ διιάμβου καὶ κρητικοῦ.

Schol. in Aesch. *Pers.* 286 (p. 44. 22 sq. Massa Positano) + ἔχει δὲ τὸ α′ κῶλον (*scil.* τὸ ἀντισπαστικὸν δίμετρον καταληκτικόν) κατὰ τὸν β′ πόδα συνίζησιν.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 49. 23 sq. Smith) + τὸ ιγ′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐκ διιάμβου καὶ κρητικοῦ.

Schol. in Aesch. *sept.* 166-172b (II 2, p. 88. 3 sq. Smith) + τὸ α′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐκ διιάμβου καὶ δακτύλου ἢ κρητικοῦ διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 287-303b (II 2, p. 140. 3 sqq. Smith) + τὸ δ′ ὅμοιον δίμετρον καταληκτικὸν ἐκ διιάμβου καὶ κρητικοῦ φερεκράτειον, τὸ ε′ ὅμοιον κατὰ πάντα· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον ἀνάπαιστον ἔχει τὸν δεύτερον πόδα. τὸ ς′ ὅμοιον κατὰ πάντα· ἔχει δὲ κατὰ τὸν δεύτερον πόδα συνίζησιν.

Schol. in Aesch. *sept.* 734-741b (II 2, p. 319. 21 sqq. Smith) + τὸ α′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς ὃ καλεῖται φερεκράτειον, ἐκ διιάμβου καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου· εἰ δὲ βούλει, περίοδος καταληκτικὴ ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαϊκῆς καταληκτικῆς … τὸ ε′ ὅμοιον τῷ πρώτῳ κατὰ πάντα.

Schol. in Aesch. *sept.* 888-893b (II 2, p. 372. 26 sq. Smith) + τὸ β′ ὅμοιον δίμετρον καταληκτικὸν ἐκ διιάμβου καὶ δακτύλου. τὸ γ′ ὅμοιον ἐξ ἐπιτρίτου τρίτου καὶ κρητικοῦ.

Schol. Byz. in Soph. *Oed. tyr.* 1313 (p. 281. 25 sqq. Longo) τὸ α´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας, ἔχον τὸν α´ πόδα συγκείμενον, τὸν δὲ β´ τετράβραχυν, ὃς κατὰ συνίζησιν γίνεται τρισύλλαβος, δάκτυ-

λος ἢ ἀνάπαιστος. τὸ β´ ὅμοιον, τοῦ α´ ποδὸς ἑξασυλλάβου. τὸ γ´ ὅμοιον, τοῦ α´ ποδὸς πεντασυλλάβου.

Schol. Byz. in Soph. *Oed. tyr.* 1337 (p. 282. 25 sqq. Longo) τὸ α´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας καὶ κρητικοῦ.

Schol. rec. in Aristoph. *ran.* 1356-1363a. 4 sqq. (p. 229 Chantry) τὸ λθ′ (v. 1358) ‘τὰ κῶλά τ᾽ ἀμπάλλετε᾽ δίμετρον καταληκτικὸν ἀντισπαστικόν, ἐκ διιάμβου καὶ δακτύλου, ἤτοι ἑφθημιμερές.

× – ◡ – ◡ ◡ ⏓

**7.** Schol. in Aesch. *sept*. 287-303b (II 2, p. 140. 3 sqq. Smith) + τὸ δ′ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικὸν ἐκ διιάμβου καὶ κρητικοῦ φερεκράτειον, τὸ ε′ ὅμοιον κατὰ πάντα· τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον ἀνάπαιστον ἔχει τὸν δεύτερον πόδα. τὸ ϛ′ ὅμοιον κατὰ πάντα· ἔχει δὲ κατὰ τὸν δεύτερον πόδα συνίζησιν.

Schol. Byz. in Soph. *Oed. tyr.* 1313 (p. 281. 25 sqq. Longo) τὸ α´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας, ἔχον τὸν α´ πόδα συγκείμενον, τὸν δὲ β´ τετράβραχυν, ὃς κατὰ συνίζησιν γίνεται τρισύλλαβος, δάκτυλος ἢ ἀνάπαιστος.

Schol. Tricl. in Eur. *Hec.* 466-474a (p. 26 de Faveri) τὸ ζ´ ὅμοιον (*scil.* χοριαμβικὸν δίμετρον καταληκτικόν) ἐξ ἐπιτρίτου γ´ ἢ δισπονδείου καὶ ἀναπαίστου· δύναται δὲ εἶναι καὶ ἀντισπαστικόν.

Schol. Tricl. in Eur. *Phoen*. 202-238a (p. 95 de Faveri) τὸ ιε´ ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον καταληκτικόν) ἐξ ἐπιτρίτου γ´ καὶ ἀναπαίστου· εἰ δὲ βούλει ἰαμβικὸν δίμετρον βραχυ[κα]τάληκτον τοῦ γ´ ποδὸς ἀναπαίστου.

◡ ◡ ◡ – ◡ – –

**8.** Schol. in Aesch. *sept*. 417-421d (II 2, p. 196. 5 sq. Smith) + τὸ ε′ ὅμοιον δίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικὸν ἤτοι ἑφθημιμερὲς ἐκ παίωνος τετάρτου καὶ βακχείου· εἰ δὲ βούλει ἔστω παιωνικόν.

– ◡ – – × – ⏑̲

**9.** Schol. Byz. in Soph. *Oed. tyr.* 1313 (p. 282. 1 Longo) τὸ δ´ ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον καταληκτικόν) καθαρόν.

Schol. rec. in Aristoph. *nub*. 1303b. 10 sq. (p. 180 Koster) Tr[2] τὸ ιδ′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον· τὸ ιε′ ὅμοιον· τὸ ιϛ′ ὅμοιον.

– – – – ◡ ◡ –

**10.** Schol. Tricl. in Eur. *Hec.* 466-474a (p. 26 de Faveri) τὸ ζ´ ὅμοιον (*scil.* χοριαμβικὸν δίμετρον καταληκτικόν) ἐξ ἐπιτρίτου γ´ ἢ δισπονδείου καὶ ἀναπαίστου· δύναται δὲ εἶναι καὶ ἀντισπαστικόν.

Schol. Tricl. in Eur. *Hec.* 629-637a (p. 29 de Faveri) τὸ η´ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐκ δισπονδείου καὶ ἀναπαίστου· εἰ δὲ βούλει ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον.

– – – – ⏑ – –

**11.** SCHOL. TRICL. in Eur. *Phoen*. 202-238a (p. 95 de Faveri) τὸ δ΄ ὅμοιον (*scil.* ἀντισπαστικὸν δίμετρον καταληκτικόν) ἐκ δισπονδείου καὶ βακχείου.

⏑ – – – – – ⏒

**12.** SCHOL. REC. in Aristoph. *ran*. 1331-1340. 8 sqq. (p. 224 Chantry) τὸ ς΄ (v. 1334 sq. μελαίνας Νυκτὸς παῖδα) καὶ ζ΄ (v. 1335 φρικώδη δεινὰν ὄψιν) ἀντισπαστικὰ δίμετρα καταληκτικὰ φερεκράτεια. [*P.S.*]